## *ΑΡΧΑΙΟΤΡΟΠΟΙ ΣΤΙΧΟΙ*

### *Ἰδία ὁδὸς**

I

Πομπαῖε δαῖμον, πολλάκις ὃς φίλως
ἡμῖν ὁδηγὸς ἦσθα δι' Ἑλλάδος,
καὶ νῦν ἐμαυτῷ συζύγῳ τε
νεύματι σῷ τὰ πρέποντα δεῖξον·

ποθοῦσι δεινῶς Ἰόνιον περᾶν,
ἕως βιωτὸν Μοῖρα βίον διδοῖ,
νήσων τ' Ὀδυσσεὺς ὧν πάροιθεν
ἦρχε, μίαν διοδευπορῆσαι.

Τίς, φησι μειδιῶν ὁ Διὸς γόνος,
βόρειος οὐ τρυφῆς Σχερίας ἐρᾶ;
ὑμεῖς δ' ἀπαξιοῦντες ὄχλους
τὴν ἰδίαν ἴτ' ἀταρπὸν αὐτοί.

Οὐχ ἱστορεῖτε νηπιάχων τρόπον
Σαπφὼ πόθεν πόντονδε καθήλατο,
οὐδ' αὖ 'πι Νηρίτῳ πονεῖσθε
σκινδαλάμους συφεῶν ὀρύξαι.

Ὑμᾶς γεωργὸς Λευκάδος ἐν νάπῃ
καλῶν ἐς ἁπλοῦν ἀσπάσεται δόμον·
«Γερμανικοῖς ξένοις κράτιστον,
Δωροθέα, παραθῶμεν οἶνον!»

II

Τοτὲ μὲν πρέπει πιθέσθαι
Ἑρμῇ, τότ' αὐτοβούλως
ἰδίαν πατεῖν ἀταρπόν.
νῶίν γ' ἔδοξε κοινῶς
ἀπιθοῦσιν ἡγητῆρι
τὴν Λευκάδ' ἐκτραπέσθαι.
Ταχέως μάλ' ἁρμάμαξα
λιποῦσ' Ἡγουμενίζαν
ἤνεγκε νὼ πρὸς ὅρμον
Πάργης σπίλοις σπορευτόν.
πέριξ ἅπασ' ὀρεινὴ
μόνος πέφυκ' ἐλαιών.

---

*Ὁ καθηγητὴς Kuchenmüller ἐπισκεπτόμενος διάφορα μέρη τῆς Ἑλλάδος κατ' ἔτος ἀπὸ δεκαετιῶν γράφει ἑκάστοτε τὰς ἐντυπώσεις του εἰς ἀρχαίους στίχους.

Ἄλλος μὲν οὖν ἀδένδρους
ἀκροπόλεις προτιμᾷ,
ἄκρᾳ δ' ἔγωγε Πάργης
πρωτεῖα προσνέμοιμ' ἄν·
καθημέραν ἀναβάντε
ὀχύρωμα δυσμάχητον—
Τουρκῶν ἀμνημονοῦντε—
ἐπισκίοις ἐν ὄρχοις
ἐγευσάμεσθ' Ὁμήρου
ἅμα νῷν τρίτου παρόντος.

Ἄληστος ἧμιν εἴη
Οὐικτωρία νεᾶνις
καλὴ γεγῶσ' ἀγαθή τε,
ἣν Ἀντιγόνης βεβαία
πίστις συνῆψεν ἡμῖν.
Τί δ' ὄμμα τόν τε θυμὸν
Μάγνης ὅπως ἐφέλκει;
νῆσός τις οἷον ἀσπὶς
τῆλ' ἐκφανεῖσα πόντου,
Πάξος, πένης μὲν οὖσα
μύθων, χαρίτων δὲ μεστή·
Ἄγε θαυμασίαν ἄφιξιν
ἐς Γαῖον ἱστορῶμεν!
κατηγμένους πρὸς ὅρμον
ἀσπάζεταί τις ἁγνὼς
ἡμᾶς γυνὴ γεραιὰ
ὑπολαμβάνει τ' ἀόκνως
μεῖραξ ὅπως γελῶσα
δεινὸν βάρος βαλιτζῶν·
πρόσφησι σύζυγός με
ψιθυριζομένη· «δοκεῖν μοι
ἥδ' ἐστὶν Εὐρύκλεια...»
«πολὺ μᾶλλόν ἐστ' Ἀθηνᾶ
μεταλλαγεῖσα μορφὴν...»
«τὰ γ' ὄμματ' ἐστὶ γλαυκά...»
«Παλλάδος ἔφυ βάδισμα...»
«δραστήριός τε ῥώμη...»
«ἥτις πότ' ἐστι, πάντως
τηρητέον βαλίτζας!»

Οὐδενὶ μὰ τὴν Ἀθηνᾶν
ποτ' οἰκίαν προδώσω
πρὸς ἣν διὰ στενωποὺς
ἡγήσαθ' ἡ γεραιά.

τοῦ δ' αὐλιδίου γλυκεῖαν
εὐοσμίαν ἐπαινῶ,
οὗ δεῖπν' ἔωθεν ἁπλᾶ
ὑπὸ κιτρίοις πολυκάρποις
'Ωγυγίαν ἔφυσεν.

Ψευδῶς λέγουσ' ἄπειροι·
«πάλαι ποτ' ἦν Φιλήμων».
ἡμεῖς ἐν 'Αντιπάξῳ—
κἀκεῖσ' ἐπλεύσαμεν γάρ—
γεωργὸν ἀμπελουργὸν
ἔγνωμεν ἀνθάμιλλον
'Ιθακησίου συφορβοῦ.
ξενίσας γε νῶ περισσῶς
ἴδιον παρέσχε λέκτρον·
«ὑπνώσαθ' ὡς μάλιστα,
εἰς παραλίαν γὰρ ἔσται
κατάβασις οὐκ ἐλαφρά!»

Ἔπηλυς οἶδ' ἕκαστος
τὸ νησίδιον πρὸ Γαίου
πᾶσιν νομικῶς ἄθικτον.
μόνους δὲ νῶ λιμενάρχης
εἴασε πλεῖν ἐκεῖσε
ὄχθῃ τ' ἐπ' ἀνθεμώδει
ὕπερθε κυματωγῆς
γεγηθέναι συνάμφω
τὴν 'Ελλάδ' ἐμπνέοντας.

Wilhelm Kuchenmüller — Stuttgart